ὀᾶ·
Περσικοῦ στρατεύματος
τοῦδε μὴ πόλις πύθη-
ται κένανδρον μέγ' ἄστυ Σουσίδος,

(ἀντιστρ. β'.)

καὶ τὸ Κισσίων[1]) πόλισμ'
ἀντίδουπον ᾄσεται[2]),
ὀᾶ·
τοῦτ' ἔπος, γυναικοπλη-
θής θ'[3]) ὅμιλος ἀπύων,
βυσσίνοις δ'[4]) ἐν πέπλοις πέσῃ λακίς

(στροφὴ γ'.)

πᾶς γὰρ ἱππηλάτας καὶ[5]) πεδοστιβὴς λεὼς
σμῆνος ὣς ἐκλέλοιπεν μελισσᾶν[6]) σὺν ὀρχάμῳ
στρατοῦ,
τὸν ἀμφίζευκτον ἐξαμείψας ἀμφοτέρας ἅλιον
πρῶνα κοινὸν αἴας.

(ἀντιστρ. γ'.)

λέκτρα δ' ἀνδρῶν πόθῳ πίμπλαται[7]) δακρύμασι·
Περσίδες δ' ἀκροπενθεῖς, ἑκάστα πόθῳ φιλάνορι
τὸν αἰχμάεντα θοῦρον εὐνατῆρα προπεμψαμένα[8])
λείπεται μονόζυξ.

(σύστημα.)

ἀλλ' ἄγε[9]), Πέρσαι,
τόδ' ἐνεζόμενοι στέγος ἀρχαῖον,
φροντίδα κεδνὴν καὶ βαθύβουλον
θώμεθα· χρεία δὲ προσήκει·
πῶς ἄρα πράσσει Ξέρξης βασιλεύς,
[Δαρειογενὴς]
τὸ πατρῷϊον ὦν γένος ἡμέτερον[10]),

[1]) V. 114. Var. *Κίσσινον* und *Κισσίνων*.
[2]) V. 115. codd. *ἔσεται* und *ἔσσεται*. Burney's Besserung.
[3]) V. 117. *θ'* fehlt in den Urkunden.
[4]) V. 118. *δ'* fehlt in Rob.
[5]) V. 119. Rob. *τε καί*.